# ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ

## *Greeting*

1 Παῦλος δέσμιος *Χριστοῦ Ἰησοῦ, καὶ
Τιμόθεος ὁ ἀδελφός, Φιλήμονι τῷ ἀγαπητῷ
καὶ συνεργῷ ἡμῶν,
2 καὶ Ἀπφίᾳ τῇ †ἀγαπητῇ, καὶ Ἀρχίππῳ τῷ
‡συστρατιώτῃ ἡμῶν, καὶ τῇ κατ᾿ οἶκόν σου
ἐκκλησίᾳ·
3 χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς
ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

## *Philemon's Love and Faith*

4 Εὐχαριστῶ τῷ Θεῷ μου, πάντοτε μνείαν
σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου,
5 ἀκούων σου τὴν ἀγάπην, καὶ τὴν πίστιν ἣν
ἔχεις §πρὸς τὸν Κύριον Ἰησοῦν καὶ εἰς πάντας
τοὺς ἁγίους,
6 ὅπως ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς
γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν
*ἡμῖν εἰς Χριστὸν †Ἰησοῦν.

---

* **1:1** χριστου ιησου [45.2%] ¦ ιησου χριστου 𝔐pt PCK [54.5%] † **1:2** αγαπητη 93.4% ¦ αδελφη CT 5.4% ‡ **1:2** συστρατιωτη [90.8%] ¦ συνστρατιωτη TH WH [4%] § **1:5** προς [97.3%] ¦ εις WH [1.6%] * **1:6** ημιν [64.4%] ¦ υμιν PCK TR [34.7%] † **1:6** ιησουν [96.6%] ¦ — CT [2.1%]

7 ‡Χάριν γὰρ ἔχομεν πολλὴν καὶ παράκλησιν
ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων
ἀναπέπαυται διὰ σοῦ, ἀδελφέ.

## *Paul's Appeal for Onesimus*

8 Διὸ πολλὴν ἐν Χριστῷ παρρησίαν ἔχων
ἐπιτάσσειν σοι τὸ ἀνῆκον,
9 διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ,
τοιοῦτος ὢν ὡς Παῦλος πρεσβύτης, νυνὶ
δὲ καὶ δέσμιος §Ἰησοῦ Χριστοῦ.
10 Παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃν
ἐγέννησα ἐν τοῖς δεσμοῖς *μου, Ὀνήσιμον,
11 τόν ποτέ σοι ἄχρηστον, νυνὶ †δὲ σοὶ καὶ
ἐμοὶ εὔχρηστον, ὃν ἀνέπεμψα·
12 ‡σὺ δὲ αὐτόν, τοῦτ᾽ ἔστι τὰ ἐμὰ σπλάγχνα,
§προσλαβοῦ·
13 ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν,
ἵνα ὑπὲρ σοῦ *διακονῇ μοι ἐν τοῖς δεσμοῖς τοῦ
εὐαγγελίου·
14 χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα
ποιῆσαι, ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν
σου ᾖ, ἀλλὰ κατὰ ἑκούσιον.
15 Τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν,
ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς·

---

‡ **1:7** χαριν γαρ εχομεν πολλην 65.1% ¦ χαριν εχομεν πολλην MSS 11.1% ¦ χαραν γαρ εχομεν πολλην SCR 4.8% ¦ χαραν γαρ πολλην εσχον CT 4.1% § **1:9** ιησου χριστου [91.9%] ¦ χριστου ιησου CT [6.1%] * **1:10** μου [97.3%] ¦ — CT [2.5%] † **1:11** δε [91.4%] ¦ δε και NA [7.5%] ‡ **1:12** συ δε [93.1%] ¦ σοι CT [0.7%] § **1:12** προσλαβου 91.6% ¦ — CT 0.9% * **1:13** διακονη μοι [80%] ¦ μοι διακονη CT [12.7%]

16 οὐκέτι ὡς δοῦλον, †ἀλλ᾽ ὑπὲρ δοῦλον,
ἀδελφὸν ἀγαπητόν, μάλιστα ἐμοί, πόσῳ δὲ
μᾶλλον σοὶ καὶ ἐν σαρκὶ καὶ ἐν Κυρίῳ.
17 Εἰ οὖν ‡με ἔχεις κοινωνόν, προσλαβοῦ
αὐτὸν ὡς ἐμέ.
18 Εἰ δέ τι ἠδίκησέ σε ἢ ὀφείλει, τοῦτο ἐμοὶ
§ἐλλόγει·
19 ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρί, ἐγὼ
ἀποτίσω· ἵνα μὴ λέγω σοι ὅτι καὶ σεαυτόν μοι
προσοφείλεις.
20 Ναί, ἀδελφέ, ἐγώ σου ὀναίμην ἐν Κυρίῳ·
ἀνάπαυσόν μου τὰ σπλάγχνα ἐν *Κυρίῳ.
21 Πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι,
εἰδὼς ὅτι καὶ ὑπὲρ †ὃ λέγω ποιήσεις.
22 Ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν·
ἐλπίζω γὰρ ὅτι διὰ τῶν προσευχῶν ὑμῶν
χαρισθήσομαι ὑμῖν.

### *Final Greetings*

23 ‡Ἀσπάζονταί σε Ἐπαφρᾶς ὁ
συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ,
24 Μάρκος, Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ
συνεργοί μου.
25 Ἡ χάρις τοῦ Κυρίου §ἡμῶν Ἰησοῦ
*Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν.

---

† **1:16** αλλ [96.1%] ¦ αλλα SBL WH [2.8%] ‡ **1:17** με [80.4%] ¦ εμε TR [16.1%] § **1:18** ελλογει [92.2%] ¦ ελλογα CT [2.1%] * **1:20** κυριω 74.4% ¦ χριστω CT 20.3% † **1:21** ο [93.9%] ¦ α CT [4%] ‡ **1:23** ασπαζονται [72.8%] ¦ ασπαζεται ANT CT [25.5%] § **1:25** ημων [89.4%] ¦ — NA SBL WH [6.7%] * **1:25** χριστου [80%] ¦ — PCK [15.9%]

†Ἀμήν.‡

† **1:25** αμην [91.2%] ¦ — NA SBL WH [2.3%] ‡ **1:25** The following scribal note is included in the colophons of many Greek manuscripts: Πρὸς Φιλήμονα ἐγράφη ἀπὸ Ῥώμης διὰ Ὀνησίμου οἰκέτου.

# Η Καινή Διαθήκη
## The New Testament in Ancient Greek with critical text notes

Public Domain

Language: Ελληνικά (Greek, Ancient)

Translation by: Maurice A. Robinson

Contributor: Robert Adam Boyd

The Text-Critical Greek New Testament is based upon The New Testament in the Original Greek: Byzantine Textform 2018, compiled and arranged by Maurice A. Robinson and William G. Pierpont.

The following disclaimer is printed in the The New Testament in the Original Greek: Byzantine Textform 2018:

Anyone is permitted to copy and distribute this text or any portion of this text. It may be incorporated in a larger work, and/or quoted from, stored in a database retrieval system, photocopied, reprinted, or otherwise duplicated by anyone without prior notification, permission, compensation to the holder, or any other restrictions. All rights to this text are released to everyone and no one can reduce these rights at any time. Copyright is not claimed nor asserted for either the preface, notes, or the new and revised form of the Greek NT text of this edition, nor for the original form of such as initially released into the public domain by the editors, first as printed textual notes in 1979, continuous-text electronic form 1986–present, and in published editions from 1991, 2005, and 2010.

The permitted use or reproduction of the Greek text or other material contained within this volume (whether by print, electronic media, or other form) does not imply doctrinal or theological agreement by the present editors and publisher with whatever views may be maintained or promulgated by other publishers. For the purpose of assigning responsibility, it is requested that the present editors' names and the title associated with this text as well as this disclaimer be retained in any subsequent reproduction of this material.

2025-05-15

---

PDF generated using Haiola and XeLaTeX on 15 May 2025 from source files dated 15 May 2025

ebdf933b-03a4-5add-853f-51a05e168973